σβεις δὲ παρὰ τῶν θεῶν Ποσειδῶν καὶ Ηρακλῆς καὶ εἷς A ἐκ τῶν βαρβάρων θεῶν ἦλθον. Οὗτος τί δρᾷς.] τοῦτο λέγει τῷ βαρβάρῳ τῷ συμπαρόντι αὐτῷ εἰς τὴν πρεσβείαν ὁ Ποσειδῶν, ὡς οὐκ ἐπιτηδείως σελλομένῳ τὴν ἐσθῆτα. ἀλλ᾽ ἐπ᾽ ἀριστερὰ περιβαλλομένῳ, ὥσπερ οἱ Θρᾷκες. Λαισποδίας εἰ τὴν φύσιν.] ὅτι τὴν κνήμην εἶχε σαπρὰν ὁ Λαισποδίας. καὶ μέχρι τῶν κάτω περιεβάλλετο. καὶ οἱ βάρβαροι δὲ τὰ σκέλη περιβέβληνται. B Λαισποδίας δὲ, καὶ Δαμασίας, ὡς κακόκνημοι διαβάλλονται. μνημονεύει δὲ αὐτῶν καὶ Εὔπολις ἐν Δήμοις. ταδὶ δὲ τὰ δένδρα Λαισποδίας καὶ Δαμασίας αὐταῖσι ταῖς κνήμαισιν ἀκολουθοῦσί μοι. τοῦτον δὲ τὸν Λαισποδίαν καὶ στρατηγῆσαί φησι Θουκυδίδης ἐν τῇ ή. μέμνηται δὲ αὐτοῦ Φρύνιχος ἐν Κωμασταῖς, ὡς πολεμικοῦ γεγονότος. Φιλύλλιος δὲ ἐν ταῖς Πλυντρίαις ὡς φιλοδίκου. ἔχει δὲ καὶ περὶ τὰς κνήμας τινὰς αἰτίας ὡς φησι Στράτων ἐν Κινησίᾳ. διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον. ὡς Θεόπομπος ἐν Παισί. Δημήτριος δὲ καὶ πάντες τὸν Ἰξίονα λέγουσιν ἐν ταῖς Ἀττικαῖς λέξεσιν, ὡς γλῶσσαν ἐξηγεῖσθαι. ὅτι Λαισποδίας ἐστὶν, ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια. ὥστε καὶ κτήνη ἀποδεῖν. Ω δημοκρατία.] ἔμιξεν ὡς ἐπὶ Ἀθηναίων. ἐπεὶ ἰσοτιμίας οὔσης, συμβαίνει δημώδεις ἅμα τοῖς ἀξιοπίστοις ἀποστέλλεσθαι. ὥσπερ καὶ νῦν ὁ βάρβαρος εἰς μηδὲν χρήσιμον σὺν Ποσειδῶνι καὶ Ηρακλεῖ ἀπεστάλη. φησὶν οὖν ποῖ προάγεις ἡμᾶς ὦ δημοκρατία, ὅτι τοῦτον ἐχειροτόνησαν οἱ θεοί. Ηρήμεσθα.] ἐχειροτονήθημεν. Διπλασίως.] τοσοῦτον οὐ φροντίζω διαλλαγῶν. Επικνῶ.] ἐπίβαλλε. Σίλφιον.] εἶδος βοτάνης ἡδυόσμου. καὶ μάλιστα τὸ Κυρηναϊκόν. τὸ δὲ ὅλον πρόσκνισμα τοῦ Ηρακλέους ποιῶν ὁ Πεισθέταιρος, δοκεῖ πρὸς μάγειρον οἰκεῖον διαλέγεσθαι ἐπὶ τῷ εὐτρεπίσαι δεῖπνον.

Επανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις,
Εδοξαν ἀδικεῖν. Ηρ. εἶτα δῆτα σίλφιον.
Επικνᾷς πρότερον αὐτοῖσιν. Πι. ὦ χαῖρ᾽ Ηράκλεις.
Τί ἐστι. Ηρ. πρεσβεύοντες ἐνθάδ᾽ ἥκομεν
Παρὰ τῶν θεῶν, περὶ πολέμου καταλλαγῆς.
Πι. Ελαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.
Ηρ. Καὶ μὴν τά γ᾽ ὀρνίθεια λιπαρά γ᾽ εἶναι πρέπει.
Πο. Ημεῖς τε γὰρ πολεμοῦντες, οὐ κερδαίνομεν.
Υμεῖς τ᾽ ἂν, ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι,
Ομβριον ὕδωρ ἂν εἴχετ᾽ ἐν τοῖς τέλμασιν.
Αλκυονίδας τ᾽ ἂν ἤγεθ᾽ ἡμέρας ἀεί.
Τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν.
Πι. Αλλ᾽ οὔτε πρότερον πώποθ᾽ ἡμεῖς ἤρξαμεν
Πολέμου πρὸς ὑμᾶς. νῦν τ᾽ ἐθέλομεν εἰ δοκεῖ
Εάν τι δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν
Σπονδὰς ποιεῖσθαι. τὰ δὲ δίκαι᾽ ἐστὶν ταδί.
Τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισι πάλιν
Τὸν Δί᾽ ἀποδοῦναι, καὶ διαλλαττώμεθα.
Επὶ τοῖσδε, τοὺς πρέσβεις ἐπ᾽ ἄριστον καλῶ.
Ηρ. Εμοὶ μὲν ἀπόχρη ταῦτα, καὶ ψηφίζομαι.
Πο. τί ὦ κακόδαιμον ἠλίθιος καὶ γάστρις εἶ,
Αποστερεῖς τὸν πατέρα τῆς τυραννίδος;
Πι. Αληθες. οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ
Ισχύσετ᾽ ἢν ὄρνιθες ἄρξωσι κάτω.
Νῦν μέν γ᾽ ὑπὸ ταῖς νεφέλεσιν κεκρυμμένοι
Κύψαντες ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί.
Εαν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους
Οταν ὀμνύῃ τις τὸν κόρακα καὶ τὸν Δία,
Ο κόραξ παρελθὼν τοῦ ἐπιορκοῦντος λάθρα
Προσπτάμενος ἐκκόψει τὸν ὀφθαλμὸν θένων.

C *Insurgentes ciuilibus auibus,*
*Apparuerunt iniusta facere.* HER. *postea certè silphium*
*Inijcis prius ipsis.* PI. *ô gaude Hercules,*
*Quid est?* HER. *legationem facientes huc venimus à deis de belli pace.*
PI. *Oleum non est in lucerna.*
HER. *Et quidem auiculas pingues esse decet.*
NEP. *Nosq́; enim bellantes non lucramur,*
D *Vosq́; nobis deis existentes amici*
*Hyemalem aquam habebitis in cœnis,*
*Tranquillosq́; ducetis dies semper.*
*His de omnibus potentes venimus.*
PI. *Sed neque prius vnquam nos incepimus*
*Bellum ad vos, nuncq́; volumus (si videtur*
*Si quid iustum aliud nunc vultis facere)*
*Inducias facere. hæc autem iusta sunt hæc,*
*Sceptrum nobis auibus iterum*
*Iouem reddere, & inducias facimus,*
E *In his legatos ad cœnam voco.*
HER. *Mihi quidem sufficiunt hæc, & confirmo.*
*Quid ô infelix stolidus, & gulosus es,*
*Priuas patrem tyrannide?*
PI. *Verum non enim maius vos dei*
*Poteritis, si aues dominabuntur inferius,*
*Nunc quidem à nebulis cooperti,*
*Inclinati peierant vos homines.*
*Si autem aues habebitis auxiliatores,*
F *Quando iurabit aliquis coruum & Iouem.*
*Coruus adueniens peierante clam,*
*Aduolans eiiciet oculum verberans.*

Σχόλια. Επανιστάμενοι.] ἐπανάστασιν ποιησάμενοι ὡς ἀγρίων ὀρνίθων ἐπιθεμένων τυραννίδι καὶ εἰς βορὰν παραδεδομένων. αὐτοῖσι δὲ ἤγουν τοῖς κρέασιν. Ελαιον οὐκ ἔνεστιν.] ἀντὶ τοῦ οὐκ ἐλεοῦμεν. οὐ πειθόμεθα. Λιπαρά γ᾽ εἶναι πρέπει.] δοκεῖ ἔοικε. τοῦτο δὲ ὁ Ηρακλῆς λέγει ἔξωθεν τοῦ λόγου οἰκείως τῇ γαστριμαργίᾳ. Ημεῖς τε γὰρ] εἰσῆκται ὁ Ποσειδῶν, ὡς οὐκ ἀγαθόν ἐστι τὸ πολεμεῖν ἀποφαίνων. Εν τοῖς τέλμασιν.] ἀντὶ τοῦ ἐν τοῖς φρέασι. κυρίως δὲ τὸ πηλῶδες καὶ μὴ ἔχον ὕδωρ.

BISETVS. Σ. τέλματα, τὰ πηλώδη, καὶ τελευταῖα τοῦ ὕδατος. Ιδίως δὲ εἶπε τὰ γεωργήσιμα χωρία.

Σχόλια. Αλκυονίδας.] ἀντὶ τοῦ εὔδιον ὅλον τοῦ χειμῶνα. οὐκ ὡς νῦν ἑπτὰ τοῦ χειμῶνος ὥς φασί τινες εἰσὶν αἱ ἀλκυονίδες. Αὐτοκράτορες] τούτων τῶν δογμάτων κρατοῦντες. Νῦν τ᾽ ἐθέλομεν εἰ δοκεῖ. μιμεῖται τοὺς Ἀθηναίους οἷα πρὸς τοὺς βασιλεῖς λέγουσι. τὸ δὲ ἑξῆς οὕτω. νῦν ἐθέλομεν εἰ δοκεῖ σπονδὰς ποιεῖσθαι. Εάν τι δίκαιον.] εἰ G ὅλως καὶ νῦν ἐπιγνώσεσθε τὸ δίκαιον. Εμοὶ μὲν ἀπόχρη ταῦτα] ἐπαρκεῖ καὶ καλῶς ἔχει τὰ σκῆπτρα λαβεῖν ὑμᾶς. τοῦτο δὲ ὁ Ηρακλῆς λέγει πεπεισμένος διὰ τὸ ἄριστον. Τί ὦ κακόδαιμον] ἐπιπλήττει αὐτῷ ὁ Ποσειδῶν ὡς διὰ τὴν γαστριμαργίαν, προδιδόντα τὸν Δία. Κάτω.] κάτω τοῦ οὐρανοῦ ὄντας, καὶ λέγει πῶς. Τὸν κόρακα καὶ τὸν Δία] τοὺς ὄρνιθας καὶ τοὺς θεούς. ἀφ᾽ ἑνὸς δὲ τοὺς πάντας δηλοῖ.